A πτω.] ἐπεὶ μὴ ὕειν δοκεῖ αὐτόθι ὡς Ἡρόδοτος. ἐκεῖ οὖν θελήσει τυχεῖν ἔνθα μὴ βλαβήσεται ἐκ τῶν Νεφελῶν, ὡς πορρωτάτω τῆς πατρίδος. ἢ ὡς ἐπὶ κατάραν. ἐπεὶ καταρᾶται. ἐλέγετο γὰρ λῃστεύεσθαι ἡ Αἴγυπτος. Αἰσχύλος. δεινοὶ πλέκειν τοι μηχανὰς Αἰγύπτιοι. καὶ Θεόκριτος ἐν Ἀδωνιαζούσαις. οὐδεὶς κακοεργὸς δαλεῖται τὸν ἰόντα παρέρπων Αἰγυπτιστί. καὶ αἰγυπτιάζειν τὸ ὕπουλα πράττειν.

## ΔΡΑΜΑΤΟΣ ΤΟΥ ΤΕΤΑΡΤΟΥ,

Σκηνὴ πρώτη.

ΣΤΡΕΨΙΑΔΗΣ,

Τρίμετροι.

B

## ACTVS IIII. SCENA prima.

STREPSIADES,

*Senarij.*

BISETVS. Στρεψιάδης μεγίστη τῶν δανειστῶν, οἷς ἐνέπεσεν, ἀνάγκῃ, συνεχεῖ ἀπαιτήσει, καὶ δειναῖς ἀπειλαῖς πεισθεὶς πρὸς τὸν Σωκράτην ἐπανέρχεται, καὶ τὸν υἱὸν ἤδη ἐμπειρότερον ἀσπάζεται, καὶ αὐτοῦ τῆς διδαχῆς, καὶ γοητείας πεῖράν τινα ἐπιδεξίως διδόντα θαυμάζει, τὴν τῆς ἀπάτης τέχνην ἐπαινεῖ. τὸν υἱόν, καὶ αὐτὸν μακαρίζει, ὅτι τοῦτον τὸν τρόπον, ὃν ὁ παῖς ἔμαθε, πάντων τῶν πρότερον κακῶν ἀπαλλαχθήσεται.

C

Στρ. Πέμπτη. τετράς. τρίτη μετὰ ταύτην δευτέρα.
Εἶθ' ἣν ἐγὼ μάλιστα πασῶν ἡμερῶν
Δέδοικα καὶ πέφρικα καὶ βδελύττομαι.
Εὐθὺς μετὰ ταύτην ἔσθ' ἕνη τε καὶ νέα.
D Πᾶς γάρ τις ὀμνύς, οἷς ὀφείλων τυγχάνω,
Θείς μοι πρυτανεῖ' ἀπολεῖν με φησὶ κἀξολεῖν.
Ἐμοῦ μέτριά τε καὶ δίκαι' αἰτουμένου.
Ὦ δαιμόνιε τὸ μέν τι νυνὶ μὴ λάβῃς,
E Τὸ δ' ἀναβαλοῦ μοι, τὸ δ' ἄφες, οὔ φασί ποτε
Οὕτως ἀπολήψεσθ', ἀλλὰ λοιδοροῦσί με.
Ὡς ἄδικός εἰμι. καὶ δικάσεσθαί φασί μοι.
Νῦν οὖν δικαζέσθων. ὀλίγον γάρ μοι μέλει.
F Εἴπερ μεμάθηκεν εὖ λέγειν Φειδιππίδης.
Τάχα δ' εἴσομαι, κόψας τὸ φροντιστήριον.
Παῖ ἠμί, παῖ, παῖ.

*EN quinta, quarta, tertia, secunda: & quam ego*
*Ex omnibus diebus timeo maxime,*
*Planeq́ horreo & abominor, mox imminet*
*Vetus & noua: mensium dies tricesima:*
*Nam omnes, quibus ego aliquid argenti debeo,*
D *Deposita in iudicio pecunia, mihi*
*Minantur ac iurant, quod funditus velint*
*Me perdere, & omnibus bonis euertere.*
*Ego quidem, quod iustum est & æquum postulo.*
*Ah mi vir; isthoc argentum nunc temporis*
*Ne à me accipias: hoc differas: & terminum*
*Solutionis proroges: illud mihi*
E *Prorsus remittas. nunquam verò, illi inquiunt,*
*Hoc se modo quicquam à me accepturos: neque*
*Consentiunt: sed multis contumelijs*
*Me afficiunt, quod sim iniquus: insuper mihi*
*Minantur, quod velint me in ius hinc rapere. Age*
*Rapiant. quid ad me? nihil equidem curo: modò*
F *Artem benè dicendi meus iam didicerit*
*Phidippides. Sed mox sciam: vbi hoc pulsauero*
*Ludi ostium. heus puer, tibi dico, heus puer.*

Σχόλια. Πέμπτη.] κορωνὶς εἰσιόντων τῶν ὑποκριτῶν. καὶ ἔκθεσις παρὰ τοὺς τετραμέτρους. ἔστι γὰρ τὰ ἑξῆς ἰαμβικὰ τρίμετρα κγ. ἐξέρχεται δὲ ὁ Στρεψιάδης ἀριθμῶν τὰς ἡμέρας. οὕτω δὲ ἠρίθμουν Ἀθηναῖοι. τὰς μὲν ἀπὸ νουμηνίας ὁμοίως ἡμῖν. λέγοντες πρώτη ἱσταμένου, δευτέρα ἱσταμένου, μέχρι τῆς δέκα. μεθ' ἣν πρώτην ἐπὶ δέκα. εἶτα δευτέραν ἐπὶ δέκα. καὶ ἑξῆς ἄχρι εἰκοστῆς. ἡ αὐτὴ δὲ καὶ εἰκάς. μεθ' ἣν ἑνδεκάτην φθίνοντος. ἢ δεκάτην. ἢ ἐνάτην. ἢ ὀγδόην ὡς ἔτυχεν ἔχων ὁ μήν. καὶ ἑξῆς ἀναλύοντι ἄχρι δευτέρας. οὕτω γὰρ Ἀθηναῖοι ἠρίθμουν οὐ
G προστιθέντες. ἀλλ' ἀφαιροῦντες καὶ ἀναλύοντες μέχρι τριακάδος, Σόλωνος ἡγησαμένου πρὸς τὰ τῆς σελήνης φῶτα οὕτω μειούμενα. μετὰ δὲ δευτέραν ἀκτέον ἕνην τουτέστι τὴν τελευταίαν τοῦ μηνὸς ἡμέραν. ἄλλως. πέμπτη. τετράς. οὐ προσέθηκε τὸ φθίνοντος. οὕτω γάρ φασιν Ἀθηναῖοι μετροῦσιν. ἀπὸ πρώτης ἕως δευτέρας προστιθέασι τὸ ἱσταμένου. ἀπὸ τρισκαιδεκάτης ἕως ἐννεακαιδεκάτης, τὸ ἐπὶ δέκα. εἶτα ἡ μεγάλη εἰκάς. ἀπὸ εἰκοστῆς πρώτης ἕως εἰκοστῆς ἐνάτης τὸ φθίνοντος. τὴν δὲ τριακοστὴν ἕνην τε καὶ νέαν. ἐπεὶ μετέχει τοῦ τε παλαιοῦ καὶ τοῦ νέου